UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Diogeni Magistriano. 389.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Διογένει μαγιστριανῷ. τπθ.

Καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ, ὦ σοφὲ, ἐπειδήπερ ἀπὸ ταύτης μόνης ἡμῖν διαλέγῃ, τὴν νέαν παρεὶς, εἰ καὶ μὴ φανερῶς μηδὲ διαῤῥήδην, ἀλλ᾽ αἰνιγματωδῶς ἡμῖν ἐνομοθέτησεν ἡ ἡμερωτάτη φύσις, καταλλάττεσθαι τῷ ἐχθρῷ φήσασα· ἐὰν ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον, οὐ παρελεύσῃ, ἀλλὰ συνεγερεῖς αὐτό. εἰ δὲ οὐκ ἐφικνῇ ἀτενίσαι πρὸς τὸ βάθος τοῦ χρησμοῦ, ἐγώ σοι τοῦτον ἑρμηνεῦσαι, καὶ τοῦ νομοθέτου ἀναπτύξαι τὸ βούλημα πειράσομαι. οὐ γὰρ τοῦ ζώου τοσοῦτον κηδόμενος, ἀλλ᾽ αὐτῶν ἕνεκα μάλιστα τῶν ἀνθρώπων, τοῦτ᾽ ἐθέσπισεν. ὁ γὰρ ἐχθρὸς ἐρχόμενος εἰς τὸ συναγεῖραι τὸ πεπτωκὸς ζῶον, πάντως ὁμιλήσει τῷ ἐχθρῷ, καὶ λέξει· ἐκεῖθεν σὺ ἔγειρον, κἀγὼ ἐντεῦθεν. ὁμιλία δὲ προοίμιόν ἐστι καταλλαγῆς, καὶ ὁδὸς ἐπὶ φιλίαν ἄγουσα. τρία τοίνυν κάλλιστα ἐσπούδασε κατορθωθῆναι ἡ θεία γαληνότης, ἓν μὲν, τὸ μὴ διαφθαρῆναι τὸ ζῶον· ἕτερον δὲ, τὸ μὴ ζημιωθῆναι τὸν δεσπότην. τρίτον δὲ, τὸ καταλλαγῆναι πρὸς φιλίαν τοὺς ἐχθρούς. ὁ γὰρ παθὼν εὖ, εἰ καὶ λίθων ἀναισθητότερος εἴη, σπουδάσει ἀμείψασθαι τὸν εὐεργέτην· ὁ δὲ εὐεργέτην ἐπιγραφόμενος, οὐκ ἂν δήπου ἐχθρὸν ἔτι οἰεῖται. ὁρᾷς πῶς ἡ ἄῤῥητος σοφία πρὸς ἀγαθότητα καὶ φιλανθρωπίαν βλέπουσα νομοθετεῖ.

*Diogeni Magistriano.* 389.

Et in veteri quoque Testamento, vir erudite, (quoniam ab eo duntaxat nobiscum disputas, Nouo prætermisso) si non apertè ac disertis verbis, at obscurè saltem nobis mansuetissima illa natura, vt cum inimico in gratiam redeamus, his verbis vtens: Si videris iumentum inimici tui prolapsum in foueam, non pertransibis, sed eriges ipsum. Quòd si tu in huiusce oraculi penetrale oculorum aciem intendere nequis, ego tibi illud interpretari, ac Legislatoris mentem explicare conabor. Non enim quòd animantis cura tantopere tangeretur, sed ipsorum præsertim hominum causa hanc legem tulit. Nam inimicus, ad prolapsum animal erigendum accedens, inimicum omnino alloquetur, ac dicet, Tu istinc erige, ego hinc. Colloquium porro reconciliationis præludium est, ac via ad amicitiam ducens. Quamobrem *

Λαμπετίῳ διακόνῳ. τϟ.

Εἰ καὶ ὑπερβολικῶς νομιοῦσί τινες εἰρῆσθαι τὸ ῥηθησόμενον. οἶδα γὰρ πολλοὺς ἀγεννῶς καὶ ἀνάνδρως διακειμένους, ἐγὼ τὴν ἐμαυτοῦ γνώμην φράσω· ἡγοῦμαι γὰρ εἶναί τινας τοὺς ἀποδεξομένους. εἰ δὲ καὶ μηδεὶς ἀποδέξοιτο, ἡ ἀλήθεια προκεκρίσθω. τί οὖν ἐστιν ὃ βούλομαι φράσαι; συντόμως

*Lampetio Diacono.* 390.

Etsi hyperbolicè dictũ esse quidam existimaturi sunt, id quod dicturus sum (non enim me fugit multos ignauè atque effœminatè affectos esse) ego tamen sententiam meam dicam. Arbitror enim nonnullos fore, qui eam approbant. Quòd si etiam nemo comparaturus sit, veritas præferatur. Quid igitur est, quod dicere volo? Breui-